θεοῖς πάντων δ' ἀνθρώποις' ἀρχὴ κατὰ Πλάτωνα (Legg. 730 c),
κινδυνεύει θεοῖς ἐχθρὸς ὁ κόλαξ εἶναι, τῷ δὲ Πυθίῳ διαφε-
ρόντως. ἀντιτάττεται γὰρ ἀεὶ πρὸς τὸ 'γνῶθι σαυτόν', ἀπάτην
B ἑκάστῳ πρὸς ἑαυτὸν ἐμποιῶν καὶ ἄγνοιαν ἑαυτοῦ καὶ τῶν
περὶ αὑτὸν ἀγαθῶν καὶ κακῶν, τὰ μὲν ἐλλιπῆ καὶ ἀτελῆ τὰ
δ' ὅλως ἀνεπανόρθωτα ποιῶν.

**2.** Εἰ μὲν οὖν, ὡς τὰ πλεῖστα τῶν ἄλλων κακῶν, ὁ κόλαξ
ἥπτετο μόνον ἢ μάλιστα τῶν ἀγεννῶν καὶ φαύλων, οὐκ ἂν
ἦν οὕτως δεινὸν οὐδὲ δυσφύλακτον· ἐπεὶ δ' ὥσπερ οἱ θρῖπες
ἐνδύονται μάλιστα τοῖς ἁπαλοῖς καὶ γλυκέσι ξύλοις, οὕτως τὰ
φιλότιμα τῶν ἠθῶν καὶ χρηστὰ καὶ ἐπιεικῆ τὸν κόλακα δέχε-
ται καὶ τρέφει προσφυόμενον, ἔτι δ' ὥσπερ ὁ Σιμωνίδης (fr. 15)
τὴν 'ἱπποτροφίαν' φησίν 'οὐ Ζακύνθῳ ὀπαδεῖν ἀλλ' ἀρούραισι
C πυροφόροις', οὕτως τὴν κολακείαν ὁρῶμεν οὐ πένησιν οὐδ'
ἀδόξοις οὐδ' ἀδυνάτοις ἀκολουθοῦσαν, ἀλλ' οἴκων τε καὶ πραγ-
μάτων μεγάλων ὀλίσθημα καὶ νόσημα γιγνομένην, πολλάκις
δὲ καὶ βασιλείας καὶ ἡγεμονίας ἀνατρέπουσαν, οὐ μικρὸν ἔρ-
γον ἐστὶν οὐδὲ φαύλης δεόμενον προνοίας ἡ περὶ αὐτῆς ἐπί-
σκεψις, πῶς ἂν μάλιστα περίφωρος οὖσα μὴ βλάπτοι μηδὲ
διαβάλλοι τὴν φιλίαν. οἱ μὲν γὰρ φθεῖρες ἀπίασιν ἀπὸ τῶν
τελευτώντων καὶ ἀπολείπουσι τὰ σώματα σβεννυμένου τοῦ
αἵματος ἐξ οὗ τρέφονται, τοὺς δὲ κόλακας οὐδ' ὅλως ἰδεῖν
D ἔστι πράγμασι ξηροῖς καὶ κατεψυγμένοις προσιόντας, ἀλλὰ ταῖς
δόξαις καὶ ταῖς δυνάμεσιν ἐπιτίθενται καὶ αὔξονται, ταχὺ δ'
ἐν ταῖς μεταβολαῖς ἀπορρέουσιν. ἀλλὰ τὴν τότε πεῖραν οὐ δεῖ
περιμένειν, ἀνωφελῆ μᾶλλον δὲ βλαβερὰν καὶ οὐκ ἀκίνδυνον
οὖσαν. χαλεπὴ γὰρ ἐν καιρῷ δεομένῳ φίλων ἡ τῶν μὴ φίλων
αἴσθησις, ἀντικαταλλαγὴν οὐκ ἔχουσα χρηστοῦ καὶ βεβαίου πρὸς
ἀβέβαιον καὶ κίβδηλον. ἀλλ' ὥσπερ νόμισμα δεῖ τὸν φίλον

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id40391017X/104 UNIVERSITÄT LEIPZIG